www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ
# ΙΟΥΣΤΙΝΟΥ
## ΤΟΥ ΑΠΟΛΟΓΗΤΟΥ ΚΑΙ ΦΙΛΟΣΟΦΟΥ

ΣΥΜΠΛΗΡΩΘΕΙΣΑ ΕΝ ΑΓΙῼ ΟΡΕΙ
ΕΝ ΕΤΕΙ ΣΩΤΗΡΙῼ 1978ῳ
ΥΠΟ ΤΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΑΘΑΝΑΣΙΟΥ
ΤΟΥ ΣΙΜΩΝΟΠΕΤΡΙΤΟΥ
ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΑΓΙΑΣ
ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ

ΨΑΛΛΟΜΕΝΗ Τῌ Α΄ ΙΟΥΝΙΟΥ

ΕΚΔΙΔΟΜΕΝΗ ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ
ΠΡΟΝΟΙᾼ
ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΝΕΑΣ ΚΡΗΝΗΣ
ΚΑΙ ΚΑΛΑΜΑΡΙΑΣ
ΙΟΥΣΤΙΝΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ 2017

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΙΟΥCΤΙΝΟΥ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ
# ΙΟΥΣΤΙΝΟΥ
## ΤΟΥ ΑΠΟΛΟΓΗΤΟΥ ΚΑΙ ΦΙΛΟΣΟΦΟΥ

ΣΥΜΠΛΗΡΩΘΕΙΣΑ ΕΝ ΑΓΙΩ ΟΡΕΙ
ΕΝ ΕΤΕΙ ΣΩΤΗΡΙΩ 1978ῳ
ΥΠΟ ΤΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΑΘΑΝΑΣΙΟΥ
ΤΟΥ ΣΙΜΩΝΟΠΕΤΡΙΤΟΥ
ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΑΓΙΑΣ
ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ

ΨΑΛΛΟΜΕΝΗ Τῌ Α' ΙΟΥΝΙΟΥ

ΕΚΔΙΔΟΜΕΝΗ ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ
ΠΡΟΝΟΙᾼ
ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΝΕΑΣ ΚΡΗΝΗΣ
ΚΑΙ ΚΑΛΑΜΑΡΙΑΣ
ΙΟΥΣΤΙΝΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ 2017

www.tezaurliturgic.ro

© Ἱερὰ Μητρόπολις Νέας Κρήνης καὶ Καλαμαριᾶς
Μητροπολίτου Χρυσάνθου 1, Τ.Κ. 55 132
Τηλ.. 2310-481.810, 481.811, Fax 2310-451.588

Ἔκδοσις Α΄ 2017

www.tezaurliturgic.ro

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
Δ/νσις: Ἰωάννου Γενναδίου 14 – 115 21, Ἀθῆναι
Τηλ. 210-72.72.204, Fax 210-72.72.210, e-mail: contact@ecclesia.gr

Πρωτ. 4790
Ἀριθμ.
Διεκπ. 2676

Ἀθήνῃσι 9η Δεκεμβρίου 2016

Πρὸς
τὸν Σεβασμιώτατον Μητροπολίτην
Νέας Κρήνης καὶ Καλαμαριᾶς κ. Ἰουστῖνον
Εἰς Καλαμαριὰν

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Συνοδικῇ Ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς Διαρκοῦς Ἱερᾶς Συνόδου, τῆς 8ης μηνὸς Δεκεμβρίου 2016, καὶ εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθμ. πρωτ. 1444/7.10.2016 ὑμετέρου ἐγγράφου, περὶ ἐγκρίσεως ὑπὸ τῆς Ἱερᾶς Συνόδου τῆς συμπληρωματικῆς Ἱερᾶς «Ἀκολουθίας τοῦ Ἁγίου Ἐνδόξου Μάρτυρος Ἰουστίνου, τοῦ Ἀπολογητοῦ καὶ Φιλοσόφου», τῆς ποιηθείσης ἐν Ἁγίῳ Ὄρει, ὑπὸ τοῦ Ὁσιολογιωτάτου Ἱερομονάχου Ἀθανασίου τοῦ Σιμωνοπετρίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, γνωρίζομεν ὑμῖν, ὅτι κατόπιν καὶ τῆς ὑπ' ἀριθμ. 44/28.11.2016 εἰσηγήσεως τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καὶ Ποιμαντικοῦ Ἔργου, ἐγκρίνεται ἡ ὡς εἴρηται Ἱερὰ Ἀκολουθία, ἵνα ψάλληται ἐπ' Ἐκκλησίαις ἐν ταῖς Ἱεραῖς Ἀκολουθίαις, ὡς καλῶς ἔχουσα, καθ' ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ἐκκλησίας περιέχεται ἐν αὐτῇ.

Ὅθεν παρακαλοῦμεν ὑμᾶς, ὅπως κατὰ τὴν τάξιν ὑποβάλητε πέντε (5) ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω Ἱερᾶς Ἀκολουθίας διὰ τὸ Ἀρχεῖον τῆς ὡς ἄνω Συνοδικῆς Ἐπιτροπῆς.

Ἐπὶ δὲ τούτοις, κατασπαζόμενοι τὴν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.

† Ὁ Ἀθηνῶν Ἱερώνυμος Β', Πρόεδρος

ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Ὁ Ἀρχιγραμματεύς

Ὁ Μεθώνης Κλήμης

Κοινοποίησις:
Συνοδικὴν Ἐπιτροπὴν
Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου

www.tezaurliturgic.ro

Τῷ νέῳ Ἀπολογητῇ
τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας
Ἀοιδίμῳ Μητροπολίτῃ Φλωρίνης
κυρῷ Αὐγουστίνῳ Καντιώτῃ
εὐλαβῶς ἀφιεροῦται

www.tezaurliturgic.ro



*(Διὰ χειρὸς ἁγιογράφου Χρήστου Καραπάλη).*

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

Μὲ τὸν Ἅγιο Ἰουστῖνο, τὸν φιλόσοφο, ἀπολογητὴ καὶ μάρτυρα, συνδέθηκα ἰδιαιτέρως τὴν ἡμέρα τῆς Μοναχικῆς μου Κουρᾶς, κατὰ τὴν ὁποία ἔλαβα τὸ ἱερὸ ὄνομά του. Τὴν ἡμέρα ἐκείνη, ὁ μακαριστὸς καὶ ἐν οὐρανοῖς ἀγαλλόμενος Μητροπολίτης Φλωρίνης κυρὸς Αὐγουστῖνος Καντιώτης, ὁ καὶ κείρας με, μοῦ χάρισε τὸ ὄνομα τοῦ Ἁγίου, λέγοντάς μου ὅτι ἐπέλεξε νὰ μοῦ δώσει τὸ ὄνομα Ἰουστῖνος γιὰ δύο λόγους. Ὁ πρῶτος, διότι θαύμαζε, τιμοῦσε καὶ ἀγαποῦσε ἰδιαιτέρως τὴν Ἱερὰ Χορεία τῶν Ἀπολογητῶν. Ὁ δεύτερος, διότι ἤθελε νὰ τιμήσει τὸν σύγχρονο Σέρβο Ἀπολογητή, Μακαριστὸ Ἀρχιμανδρίτη Ἰουστῖνο Πόποβιτς, μὲ τὸν ὁποῖον συνυπῆρξαν, ὡς συμφοιτητές, στὴ Θεολογικὴ Σχολὴ τοῦ Καποδιστριακοῦ Πανεπιστημίου Ἀθηνῶν. Ἀπὸ τὴν ἡμέρα ἐκείνη, ὅπως ἦταν φυσικό, ὁ Ἱερὸς Χορὸς τῶν Ἀπολογητῶν καί, ἰδιαιτέρως, οἱ μορφὲς τῶν δύο Ἰουστίνων, τοῦ ἀρχαίου καὶ τοῦ νέου, σημάδεψαν τὴν ἱερατική μου πορεία.

Ἐπειδὴ δὲ κατὰ τὴν πρώτη ἐπέτειο τῶν ὀνομαστηρίων μου διεπίστωσα ὅτι ἡ Ἱερὰ Ἀκολουθία τοῦ Ἁγίου Ἰουστίνου ἦταν ἐλλιπής, γιὰ τὸν λόγο αὐτὸ ἀπευθύνθηκα στὸν πολυσέβαστο, φιλάγιο καὶ φιλακόλουθο Ὑμνογράφο τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, Ἱερομόναχο Ἀθανάσιο Σιμωνοπετρίτη, καὶ τὸν παρεκάλεσα νὰ προβεῖ στὴ συμπλήρωση τῆς Ἀκολουθίας, πρᾶγμα τὸ ὁποῖο μὲ χαρὰ ἔπραξε. Στὴ συνέχεια παρεκάλεσα τὴ Διεύθυνση τοῦ Τυπογραφείου τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ὅπως προβεῖ στὴν ἔκδοση τῆς ἐν λόγῳ Ἱερᾶς Ἀκολουθίας, δαπάναις μου, ἡ ὁποία καὶ εὐχαρίστως ἐπραγματοποίησε τὴν ἐπιθυμία μου αὐτή.

www.tezaurliturgic.ro

*Τὴν ἔκδοση ἀφιερώνω εὐγνωμόνως στὴν ἱερὰ μορφὴ τοῦ συγχρόνου Ἀπολογητοῦ Μητροπολίτου Φλωρίνης κυροῦ Αὐγουστίνου Καντιώτου, γιὰ ὅσα μοῦ προσέφερε καὶ διὰ τὰ ὁποῖα θὰ εἶμαι ἐσαεὶ εὐγνώμων. Μοῦ δίδαξε τὴν ἀξία καὶ τη σημασία τῆς ἀπολογίας μέσα στὸ Σῶμα τῆς Ἐκκλησίας. Μιᾶς ἀπολογίας ποὺ ἐκκίνηση μὲν ἔχει τὴν ἄριστη θεολογικὴ σπουδὴ καὶ γνώση, ποὺ ὡριμάζει, ὅμως, καὶ καταξιώνεται ἐκκλησιαστικὰ μόνον ὅταν συνδέεται μὲ τὴν κάθαρση καὶ τὸν φωτισμὸ τῆς Χάριτος τοῦ Θεοῦ.*

*Κλείνοντας, αἰσθάνομαι τὴν ἀνάγκη νὰ ὑποβάλω τὰ σέβη μου καὶ νὰ εὐχαριστήσω ἐγκαρδίως τὸν Μακαριώτατο Πρόεδρο τῆς Διαρκοῦς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, Ἀρχιεπίσκοπο Ἀθηνῶν καὶ πάσης Ἑλλάδος κ. Ἱερώνυμο, ὡς καὶ τὰ Σεπτὰ μέλη αὐτῆς, γιὰ τὴν ἔγκριση ὑπ᾽ αὐτῶν τῆς ἐκδιδομένης Ἱερᾶς Ἀκολουθίας τοῦ Ἁγίου Ἰουστίνου.*

*Εὐχαριστῶ, τέλος, θερμὰ ὅλους ὅσοι ἐκοπίασαν γιὰ τὴν πραγματοποίηση τῆς ἐκδόσεως αὐτῆς, ἰδιαιτέρως: τὴ Συνοδικὴ Ἐπιτροπὴ ἐπὶ τῆς Θείας Λατρείας καὶ τον Πανοσιολογιώτατο Ὑμνογράφο τῆς Μ.Χ.Ε. Ἱερομόναχο Ἀθανάσιο Σιμωνοπετρίτη. Ἐπίσης, εὐχαριστῶ καὶ τὸν Πανοσιολογιώτατο Ἀρχιμανδρίτη π. Πατρίκιο Καλεώδη, ὁ ὁποῖος ἰδιαιτέρως ἐνδιαφέρθηκε γιὰ τὴν παροῦσα ἔκδοση. Καί, τέλος, ὅλους τοὺς ἀδελφοὺς τοῦ Τυπογραφείου τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.*

*† Ὁ Νέας Κρήνης καὶ Καλαμαριᾶς*
ΙΟΥΣΤΙΝΟΣ

www.tezaurliturgic.ro

Ἰουνίου α΄

# Μνήμη τοῦ Ἁγίου Ἐνδόξου Μάρτυρος
# Ἰουστίνου
## Τοῦ Ἀπολογητοῦ καὶ Φιλοσόφου

### ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακὸν καὶ τὴν Α΄ Στάσιν τοῦ Α΄ Καθίσματος τοῦ Ψαλτηρίου, ἱστῶμεν Στίχους ς΄ καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ὑπομονὴν ἐν βασάνοις, καὶ καρτερίαν πολλήν, εἰσδεδεγμένος πίστει, τὸν ἐχθρὸν ἐτροπώσω, τῇ σῇ Μάρτυς ἐνστάσει, ὅθεν Χριστοῦ, ἀπολαύων τῆς δόξης ἀεί, Αὐτὸν δυσώπει σωθῆναι τοὺς ἐπὶ γῆς, ἐκτελοῦντάς σου τὴν μνήμην ἀεί.

Ὡς εὐσεβείας ὁπλίτης, καὶ στρατιώτης Χριστοῦ, τὸ δυσσεβὲς ἐνθέως, τῶν τυράννων καθεῖλες, τῇ σῇ Μάρτυς ἀθλήσει, ὅθεν Θεῷ, παῤῥησίᾳ παρίστασαι, Αὐτὸν δυσώπει τρισμάκαρ ὑπὲρ ἡμῶν, Ἰουστῖνε τῶν τιμώντων σε.

www.tezaurliturgic.ro

Σὺ τὸ τρισήλιον σέλας, τοῦ ἀκηράτου φωτός, ἐν μακαρίᾳ λήξει, παριστάμενος Μάρτυς, πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν, τῆς ἐν σοὶ περιλάμψεως, ἐναπολαύσοντας τούτου μαρμαρυγῆς, ἀξιωθῆναι τοὺς τιμῶντάς σε.

Ἕτερα Στιχηρὰ Προσόμοια. Τοῦ Μηναίου.

Ἦχος β΄. Ὅτε, ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε, ἀγνωσίας ὁ κρυμός, πᾶσαν ἐπεκράτει τὴν κτίσιν, ταῖς ἐπηρείαις ἐχθροῦ, καὶ ἐθεραπεύετο, ἡ τῶν εἰδώλων πληθύς, τότε ἔνδοξοι Μάρτυρες, προθύμῳ καρδίᾳ, ζέσει θείας πίστεως, τοῦτον ἐπαύσατε, πόθῳ ἐκκενοῦντες τὸ αἷμα, ὑπὲρ τοῦ τὸ ἴδιον αἷμα, ἐπὶ τὸν Σταυρὸν σαφῶς κενώσαντος.

Παίων, ὁ γενναῖος ἀθλητής, Λιβεριανὸς καὶ Χαρίτων, καὶ Χαριτὼ σὺν αὐτῷ, θεῖος, Ἰουστῖνός τε, καὶ ὁ Εὐέλπιστος, καὶ Ἱέραξ ὁ ἔνδοξος, στολὴν ἐξ αἱμάτων, θείαν ἐπιχρώσαντες, καὶ στολισάμενοι, ἅμα τῷ Δεσπότῃ τῶν ὅλων, ἐν τοῖς οὐρανοῖς μετ᾽ Ἀγγέλων τῷ παμβασιλεῖ Χριστῷ παρίστανται.

Ὅτε, ἐπινεύσει θεϊκῇ, πρὸς τοὺς ὑπὲρ φύσιν ἀγῶνας, προσεχωρήσατε, σῶμα τὸ φθειρόμενον, ἀπαρνησάμενοι, τότε σθένει ῥωννύμενοι, τοῦ Παντοδυνάμου, πῦρ οὐκ ἐπτοήθητε, οὐ ξίφη τέμνοντα· ὅθεν τῷ Θεῷ τὸν αὐχένα, κλίναντες μακάριον τέλος, ἐν ἀγαλλιάσει ὑπεδέξασθε.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος α΄.

Δεῦτε οἱ τοῦ Λόγου μαθηταί, ᾄσωμεν ἐν ὕμνοις τὸν φιλόλογον, φιλόσοφόν τε καὶ Μάρτυρα Ἰουστῖνον. Οὗτος γὰρ τὴν τῶν παρόντων σχέσιν ὑπερβὰς ὡς ματαίαν, καὶ τοὺς λόγους τῶν κτισμάτων ἐν Θεῷ ἑρμηνεύσας, πάντα ὡς σκύβαλα ἡγησάμενος, ἐδουλώθη τῷ λόγῳ τοῦ Σταυροῦ. Ὅθεν καὶ ἐν τέλει δοὺς ἑαυτὸν τῷ Χριστῷ, στέφος ἀνεδήσατο μαρτυρικὸν τῆς ἀφθαρσίας, ὃν ἱκετεύσωμεν συμφώνως, πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν.

Τὸ τῆς Προλαβούσης Ἑορτῆς.

Ἢ Θεοτοκίον. Ἦχος ὁ αὐτός. Τῆς Παρακλητικῆς.

Τὴν παγκόσμιον δόξαν τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα, αὕτη γὰρ ἀνεδείχθη οὐρανός, καὶ ναὸς τῆς θεότητος, αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέωξε· Ταύτην οὖν κατέχοντες, τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν, τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω Λαὸς τοῦ Θεοῦ, καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθρούς, ὡς παντοδύναμος.

Εἴσοδος. Φῶς ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας. Καὶ τὰ Ἀναγνώσματα.

www.tezaurliturgic.ro

## Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.
(Κεφ. 43, 9-14)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ Παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 3, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκαύτωμα θυσίας προσε-

www.tezaurliturgic.ro

δέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

(Κεφ. 5,15-23 & 6, 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς,

www.tezaurliturgic.ro

καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν.
Ψάλλομεν τὰ ἑξῆς Ἰδιόμελα.

Ἦχος α΄.

Ἐστέφθης ὡς ἀθλήσας παρὰ τοῦ δικαίου Κριτοῦ, δικαιότατε Μάρτυς. Ἔλαβες ὃ ἐπόθεις, χαίρεις ἐν οἷς ἀπαύστως σοφῶς ἐμελέτας, τὸ χάρισμα ἐδέξω, καὶ τὸ ὄφλημα ἐκέρδησας, ἐν εὐφροσύνῃ ψυχῆς. Διὸ καὶ ἡμῶν Ἰουστῖνε μνήσθητι, ἐν τῇ χαρᾷ τῆς Βασιλείας κατοικῶν.

Ἦχος β΄.

Ἐν γῇ ἔγνω σε ἡ Ἐκκλησία τοῦ Θεοῦ, σάλπιγγα τοῦ Λόγου, ἐν οὐρανοῖς δὲ πλουτοῦμέν σε καὶ τοῦ αἵματος Μάρτυρα· ἐν βίβλοις καὶ ἐν πράξει ἐδείχθης ἐραστὴς τοῦ Κυρίου, Ὃν ἐκτενῶς δυσώπει, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος γ΄.

Τέρπου ἀγαλλόμενος φαιδρῶς, τοῦ Χριστοῦ στόμα θεῖον. Ὅτι Ὃν ὧδε ἐκήρυττες Θεόν, νῦν ἐν δόξῃ ἐμφανῶς ἄνω βλέπεις. Ἐφράγησαν αἱ βέβηλοι κενοφωνίαι, ἐξέλιπον αἱ ῥομφαῖαι τοῦ ἐχθροῦ. Νῦν συμβασιλεύεις τῷ Λόγῳ, ὑπὲρ οὗ καὶ ἔζησας καὶ ἤθλησας. Μὴ διαλίπῃς οὖν πρεσβεύειν, ὑπὲρ τῶν εὐφημούντων σε.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. α΄.

Ὁ τὴν μωρίαν τοῦ Σταυροῦ ὡς τρόπον ἐκλεξάμενος τοῦ βίου, τῆς Ἀναστάσεως υἱός, διὰ τοῦ μαρτυρίου νῦν ἐν οὐρανῷ ἐγεννήθη. Ἔσπειρε ἐμπόνως φιλολογίαν, δρέπει δικαίως καλλικαρπίαν. Ὁ πολλοῖς θεογνωσίαν διδάξας, τῆς θεοπτίας δικαίως ἠξιώθη, καὶ πρεσβεύει ὑπὲρ πιστῶν ἀδιαλείπτως, Ἰουστῖνος ὁ φιλόσοφος.

Καὶ νῦν.

Τὸ τῆς Προλαβούσης Ἑορτῆς.

Ἢ Θεοτοκίον. Ἦχος ὁ αὐτός. Τῆς Παρακλητικῆς.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε· καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος· τὴν Πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀρραγῆ Προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὰ Ἀπόστιχα.

Ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἀπαρχὴν φιλοσόφων σε, τῷ Δεσπότῃ γινώσκομεν, Ἰουστῖνε πάνσοφε, στόμα εὔηχον, ἐνανθρωπήσεως κήρυκα, θεότητος σάλπιγγα, σωτηρίας μηνυτήν, καὶ τῆς Χάριτος ἄγγελον, ὅθεν σήμερον, τὴν ἁγίαν σου μνήμην ἐκτελοῦντες, ἐξαιτούμεθα πρεσβεύειν, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

www.tezaurliturgic.ro

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται (Ψαλμ. 91,13).

Ἀθείας διέλυσας, ἐρεβῶδες νεφέλωμα, καὶ Χριστὸν ἐκήρυξας πάντων Κύριον, τὴν μανικὴν ἐξετόπισας, εἰδώλων προσκύνησιν, ἀληθείας μαθητά, καὶ καινοὺς ἐναπέδειξας, τοὺς πρὶν ἄχθοντας, ἐν ζυγῷ τῆς φρικώδους ἁμαρτίας, Ἰουστῖνε θεῖε Μάρτυς, ἐπιστολὴ ἡ χριστόγραφος.

Στίχ. Πεφυτευμένος ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου ἡμῶν ἐξανθήσει (Ψαλμ. 91,14).

Τὴν Σοφίαν ἠγάπησας, Θεὸν Λόγον ὡς δίκαιον, καὶ σοφῶς ἐμπόρευμα, εὗρες ἄριστον, εἰς σωτηρίας προάγον σε, καὶ δόξαν ἀΐδιον, Ἐκκλησίᾳ προξενοῦν, μαθητείαν ἰσόβιον, ἐν ποσὶ Χριστοῦ· ὅθεν πρῶτος ἐκόρεσας τὴν δίψαν, καὶ πολλοῖς πηγὴ ἐφάνης, θεογνωσίαν ἐκβρύουσα.

Δόξα. Ἦχος πλ. β΄.

Τὸν πολυτίμητον εὑρὼν Μαργαρίτην, Ἰουστῖνε φιλόθεε, πάντα ἀπεμπόλησας σοφῶς, τὰ μόνον πρὸς καιρὸν ὠφελοῦντα, καὶ εἰς ἀπόλαυσιν μυστικήν, ὀπίσω τοῦ Χριστοῦ ἔδραμες. Τῇ δὲ ἑνώσει ὑπ᾽ Αὐτοῦ ὅλος ἐλλαμφθείς, φῶς πολλοῖς ἐφάνης, εἰς σωτηρίαν ὁδηγοῦν. Διὸ φωναῖς δοξολογητικαῖς εὐφημοῦμέν σε, φιλόχριστε Μάρτυς καὶ καλλιστέφανε. Πρέσβευε, δεόμεθα, ὑπὲρ ἡμῶν, ἵνα τύχωμεν τοῦ ἄκρως ἐφετοῦ, καὶ τὸν Λόγον δοξάσωμεν.

www.tezaurliturgic.ro

Καὶ νῦν.

Τὸ τῆς Προλαβούσης Ἑορτῆς.

Ἢ Θεοτοκίον. Ἦχος ὁ αὐτός. Τῆς Παρακλητικῆς.

Ὁ ποιητὴς καὶ λυτρωτής μου, Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος τῆς πρώην κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε· Διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ χαῖρε τοῦ Ἀγγέλου· Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον. Ἀπολυτίκιον.

Ἦχος δ΄. Ὁ ὑψωθείς.

Φιλοσοφίας ταῖς ἀκτῖσιν ἐκλάμπων, θεογνωσίας ὑποφήτης ἐδείχθης, σοφῶς παραταξάμενος, κατὰ τῶν δυσμενῶν. Σὺ γὰρ ὡμολόγησας, ἀληθείας τὴν γνῶσιν, καὶ μαρτύρων σύσκηνος, δι᾽ ἀθλήσεως ὤφθης, μεθ᾽ ὧν δυσώπει πάντοτε Χριστόν, ὦ Ἰουστῖνε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν.

Τὸ τῆς Προλαβούσης Ἑορτῆς.

Ἢ Θεοτοκίον. Ἦχος ὁ αὐτός. Τῆς Παρακλητικῆς.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ, Θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι᾽ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α′ Στιχολογίαν, Κάθισμα.

Ἦχος α′. Τὸν Τάφον σου, Σωτήρ.

Χριστῷ μαθητευθείς, Ἰουστῖνε παμμάκαρ, πλουσίαν παρ᾽ Αὐτοῦ, ἀπεδέξω τὴν χάριν, καὶ κρήνη θεόχευμος, τοῖς τὰ εἴδωλα σέβουσιν, ἀναδέδειξαι, τοῖς φιλοθέοις σου λόγοις, ἄρδων ἅπαντας, υἱοὺς γεννῶν Ἐκκλησίας, διό σε δοξάζομεν.

Δόξα. Καὶ νῦν.

Τὸ τῆς Προλαβούσης Ἑορτῆς.

Ἢ Θεοτοκίον. Ὅμοιον. Τῆς Παρακλητικῆς.

Μητέρα σὲ Θεοῦ ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ′. Θείας πίστεως.

Θείαν σάλπιγγα, ἡ Ἐκκλησία, δόγμα ἔνθεον, ἀναβροντῶσαν, Ἰουστῖνε σὲ ἐπλούτησε χαίρουσα· καὶ

www.tezaurliturgic.ro

μαρτυρίῳ τὸ αἷμα ἐκχύσαντα, ἐν γενεᾷ πρωτοτόκων κατέταξεν. Ὅθεν ἅπαντες, Χριστὸν προσκυνοῦντες λέγομεν, μὴ ἐπιλάθῃ πτωχῶν εὐφημούντων σε.

Δόξα. Καὶ νῦν.

Τὸ τῆς Προλαβούσης Ἑορτῆς.
Ἢ Θεοτοκίον. Ὅμοιον. Τῆς Παρακλητικῆς.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας, ἐμὲ οὖν γενόμενον, ῥερυπωμένον, σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Εὐφημίοις ᾄσμασι, δοξολογοῦμεν, Ἰουστῖνον σήμερον, τὸν δι᾽ ἀγάπην τοῦ Χριστοῦ, ἀνατυθέντα ὡς σφάγιον, ἵνα κερδήσῃ, ζωὴν τὴν αἰώνιον.

Δόξα. Καὶ νῦν.

Τὸ τῆς Προλαβούσης Ἑορτῆς.
Ἢ Θεοτοκίον. Ὅμοιον. Τῆς Παρακλητικῆς.

Προστασία ἄμαχε τῶν θλιβομένων, καὶ θερμὴ ἀντίληψις, τῶν πεποιθότων ἐπὶ σέ, τὸν σὸν Υἱὸν καθικέτευε, παντὸς κινδύνου ῥυσθῆναι τοὺς δούλους σου.

www.tezaurliturgic.ro

Οἱ Ἀναβαθμοί. Τὸ α´ Ἀντίφωνον τοῦ δ´ Ἤχου.

Προκείμενον·

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος, ἡ ἐν τῷ Λιβάνῳ, πληθυνθήσεται (Ψαλμ. 91,13).

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς οἴκου Θεοῦ ἡμῶν ἐξανθήσει (Ψαλμ. 91,14).

Εὐαγγέλιον: Τὸ τοῦ Ὄρθρου τῆς Ἑορτῆς τοῦ Ἁγίου Γεωργίου.

Ὁ Ν´ Ψαλμός.

Δόξα.

Ταῖς τοῦ σοῦ Ἁγίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα ψάλλομεν τὸ ἑξῆς Ἰδιόμελον.
Ἦχος πλ. β´.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου (Ψαλμ. 50,1).

Δεῦρο δοῦλε εὐγνῶμον! χαῖρε ὅτι ἔλαβες τὰς ἀντιδόσεις τῶν πόνων σου. Ἀντὶ λόγου ῥέοντος, εὗρες τὸν Λόγον τοῦ Θεοῦ. Ἀντὶ σοφίας, τὴν Αὐτοσοφίαν. Ἀντὶ δὲ τοῦ αἵματος, τὸν στεφοδότην τῶν Μαρτύρων. Χαῖρε οὖν Ἰουστῖνε μακάριε, καὶ πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

www.tezaurliturgic.ro

Εἶτα ψάλλομεν τοὺς ἑξῆς δύο Κανόνας τοῦ Ἁγίου.

α΄ Κανών. Ἀθανασίου. Οὗ ἡ Ἀκροστιχίς: «Ἔφραξεν Ἰουστῖνος Ἑλλήνων στόματα».

Ὠδὴ α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Ἐκ τῶν ἀενάων ποταμῶν, τοῦ Παρακλήτου ἀντλήσας τῆς πίστεως, δόγματα ὡς νάματα, τῆς Ἐκκλησίας Ἰουστῖνος ἤρδευσε, τὸ πλήρωμα λόγοις, ὀρθοδοξίας καὶ χάριτος.

Φῶς τὸ τῆς Τριάδος ἐν ψυχῇ, ἱερομάρτυς δεξάμενος ἄνωθεν, τῆς θεολογίας ἀστραπαῖς, τὴν οἰκουμένην ἅπασαν ηὔγασας καὶ σκότους, πλάνης ἀνθρώπων ἀπήλασας.

Ῥώμην τὴν τοῦ Πνεύματος σοφέ, περιφραγχθεὶς ἐν ἀγῶσιν ἀθλήσεως, τὰς παρεμβολὰς τῶν ἀσεβῶν, γενναίως ἐπολέμησας, καὶ τρόπαια νίκης, ἐστήσω Μάρτυς ἀήττητε.

Θεοτοκίον.

Ἁπάντων ἀνθρώπων διὰ σοῦ, υἱοθεσίας τυχὸν γένος Πάναγνε, δόξης τε τῆς κρείττονος, ἐν μετοχῇ γενόμενον ἐν χάριτι, καὶ πίστει ἀδιστάκτῳ, ἀκαταπαύστως δοξάζει σε.

Ἕτερος Κανών. Ἀνεπίγραφος. Τοῦ Μηναίου.
Ὠδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοί.

Μαρτυρικαῖς, ἠγλαϊσμένοι φαιδρότησι, τῷ καθαρῷ παρίστασθε, Μάρτυρες βήματι, τοῦ Δεσπότου τῶν ὅλων, ἡμῖν ἁμαρτημάτων λύσιν βραβεύοντες.

www.tezaurliturgic.ro

Οἱ εὐσεβεῖς, τῆς ἀληθείας ὑπέρμαχοι, τυραννικοῦ πρὸ βήματος, ἀγωνισάμενοι, ὁμοφρόνως καθεῖλον, τὴν πλάνην τοῦ Βελίαρ σθένει τοῦ Πνεύματος.

Δι' αἰκισμῶν, διὰ μαστίγων καὶ θλίψεων, οἱ εὐσεβεῖς ὠνήσαντο, Μεγαλομάρτυρες, τὴν Χριστοῦ βασιλείαν,ἐν ᾗ στεφανηφόροι νῦν πολιτεύονται.

Θεοτοκίον.

Κατοικτιρῶν, σοῦ τῶν χειρῶν τὸ πλαστούργημα, ὁ ἐν ἐλέει πλούσιος, μήτραν κατῴκησας, ἀπειράνδρου Παρθένου, καὶ ταύτην προστασίαν ἡμῶν ἀνέδειξας.

Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

Ξένη Ἰουστῖνε τῇ φωνῇ, θεολογήσας πιστοῖς τὰ παράδοξα, καὶ ὑπὲρ νοῦν μυστήρια ἤχησας, καὶ ἀσεβούντων φωνὰς συνέχεες, καὶ πιστοὺς συνήθροισας, εἰς Θεοῦ ἐπίγνωσιν, ἀνυμνοῦντας Αὐτὸν καὶ δοξάζοντας.

Ἐν τῇ νοητῇ καὶ κραταιᾷ, μαχαίρᾳ τῶν δογμάτων σου, τὰς κεφαλὰς τοῦ ψεύδους ἀπέτεμες, καὶ τοὺς τρωθέντας ἀπάτης ῥήμασιν, Ἰουστῖνε ἔνδοξε, σαφῶς ἐθεράπευσας, ἀνυμνοῦντας Χριστὸν καὶ δοξάζοντας.

Νῦν, Ὃν ἐδογμάτισας Χριστόν, οὐσίας δύο φέροντα, τῆς καθ' ἡμᾶς αὐτοῦ τε θεότητος, ἀφύρτως πάνυ, ἄγων τοὺς βλάσφημα, ἐκ στόματος ῥέοντας, ἀπόκρυφα ῥήματα, καθορᾷς αὐτοψεὶ ἀγαλλόμενος.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἔχοντες πηγήν σε νοητήν, χαρίτων Θεονύμφευτε, ἐκ σοῦ ἀντλοῦμεν ἄφθονα θαύματα, καὶ εὐρωστίας ἐνθέοις νάμασιν, ἀεὶ ἀναψύχοντες, ἰατρεῖον ἄμοχθον, τὴν σὴν σκέπην ἀπαύστως γεραίρομεν.

Ἕτερος. Στερέωσον ἡμᾶς.

Στερέωμα Χριστὸν ἐν τῇ καρδίᾳ σου, κατέχων ἀνδρείως ἀντικατέστης, Ἰουστῖνε τῷ δικάζοντι, ἀνομεῖν παρανόμως σε προστάττοντι.

Χορὸς θεολαμπὴς στρατὸς θεόλεκτος, Ἁγίων Μαρτύρων ἅγιος δῆμος, ἀθροισθεὶς νῦν κατεπάλαισε, δυσμενεῖς ἀσωμάτους μετὰ σώματος.

Τὸ σῶμα αἰκισμοῖς οἱ μεγαλόψυχοι, ἐκδόντες ἠγάλλοντο προορῶντες, τὴν αἰώνιον ἀπόλαυσιν, καὶ τὴν μέλλουσαν δόξαν καὶ λαμπρότητα.

Θεοτοκίον.

Ἀσπόρως ἐν γαστρὶ Θεὸν συνέλαβες, καὶ τίκτεις ἀφράστως σεσαρκωμένον, εἰς ὃν βλέπειν οὐ τολμῶσιν ἀεί, οὐρανῶν αἱ δυνάμεις Ἀειπάρθενε.

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τοῦ Μηναίου.

Ἰουστῖνος, Χαρίτων, Παίων, Εὐέλπιστος, Χαριτὼ καὶ Ἱέραξ καὶ Λιβεριανός, οἱ φωστῆρες οἱ φαιδροὶ οἱ καταυγάζοντες, τὰ πληρώματα τῆς γῆς, ταῖς φρυ-

www.tezaurliturgic.ro

κτωρίαις τῶν αὐτῶν, ἀγώνων μεγαλοφώνως, ἀνευφημείσθωσαν πάντες, Χριστῷ πρεσβεύοντες σωθῆναι ἡμᾶς.

Δόξα. Καὶ νῦν.

Τὸ τῆς Προλαβούσης Ἑορτῆς.

Ἢ Θεοτοκίον. Ὅμοιον. Τῆς Παρακλητικῆς.

Ἡ θερμὴ προστασία καὶ ἀπροσμάχητος, ἡ ἐλπὶς ἡ βεβαία καὶ ἀκαταίσχυντος, τεῖχος καὶ σκέπη καὶ λιμὴν τῶν προστρεχόντων σοι, ἀειπάρθενε Ἁγνή, τὸν Υἱόν σου καὶ Θεόν, ἱκέτευε σὺν Ἀγγέλοις, εἰρήνην δοῦναι τῷ κόσμῳ, καὶ σωτηρίαν καὶ μέγα ἔλεος.

Ὠδὴ δ'. Ὅρος σε τῇ χάριτι.

Ἴχνεσι τῶν θείων Ἀποστόλων ἑπόμενος, τὸν ἴσον δρόμον ἀθλητά, τούτων διήνυσας στεῤῥῶς, διὸ καὶ τῆς Χάριτος, τῆς ὑπὲρ νοῦν, καὶ τῶν θαυμάτων ἐπέτυχες, ὑμνολογῶν τὸν ἀεὶ κρατύνοντα.

Ὁ λόγος τοῖς ἔργοις συμφωνήσας τοῖς θείοις σου, κήρυκα ἔδειξε πιστοῖς, σὲ διδαγμάτων ἀψευδῶν, διὸ καὶ τὰ ῥήματα, καὶ τὰ στεῤῥὰ τιμῶμεν ἆθλά σου ἔνδοξε, καὶ ἀνυμνοῦμεν Χριστὸν τὸν ἀθλοθέτην σου.

Ὑψόθεν τὴν ἄπταιστον σοφίαν δεξάμενος, ἀπατηλοὺς καὶ σφαλεροὺς λόγους διήλεγξας σοφέ, Ἑλλήνων καὶ ἔπλησας, πάντας πιστούς, δογμάτων θείων ἀοίδιμε, ὑμνολογοῦντας Χριστὸν τὸν Θεὸν ἡμῶν.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Σώζει με ὦθῶν εἰς ἀφανὲς τὸν ὠθήσαντα, χάος τῆς φύσεως ἡμῶν, τοὺς ἀρχηγοὺς ἐν τῇ Ἐδέμ, εἰς νόμου παράβασιν, ὁ σαρκωθεὶς ἐκ σοῦ Παρθένε πανάμωμε· τοὺς γὰρ πεσόντας ὡς Κτίστης ἀνέστησεν.

Ἕτερος. Εἰσακήκοα Κύριε.

Ἰουστίνου, Χαρίτωνος, καὶ Χαριτοῦς καὶ Παίωνος τοὺς ἄθλους, τῶν Ἀγγέλων τάγματα κατεπλάγησαν.

Συντριβόμενα σώματα, τοῖς αἰκισμοῖς, τὴν θείαν προεξένει, τοῖς γενναιοτάτοις μακαριότητα.

Εὐελπίστου, Ἱέρακος, τῶν ἀκλινῶν Μαρτύρων τὴν ἀνδρείαν, οἱ τοῦ σκότους ἄρχοντες ἐπτοήθησαν.

Θεοτοκίον.

Δυσωποῦμέν σε Ἄχραντε, τὴν τὸν Θεὸν ἀσπόρως συλλαβοῦσαν, τοῦ ἀεὶ πρεσβεύειν ὑπὲρ τῶν δούλων σου.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει σου.

Τὴν ἐν λόγοις βεβαιῶν Ἰουστῖνε ἀλήθειαν, ὑπὲρ ταύτης πολυπλόκους κινδύνους ὑπέμεινας, καὶ τὸ σῶμα δέδωκας, ὑπὲρ Χριστοῦ τοῦ ὑπὲρ πάντων, δι' εὐσπλαγχνίαν τυθέντος σαρκί.

Ἰσχύϊ σε ἀηττήτῳ Χριστὸς ἐγκαθώπλισε, καὶ πρόμαχον εὐσεβούντων λαῶν Μάρτυρες ἔδειξε, μεθ' ὧν ἀριστεύσαντα, στεφάνοις νίκης καὶ βραβείοις, ὡς ἀθλοθέτης ἐδόξασεν.

www.tezaurliturgic.ro

Νευρούμενος τῇ ἐλπίδι Χριστοῦ πανᾳοίδιμε, ἐξέλυσας τῶν τυράννων ἀνένδοτον ἔνστασιν, καὶ λαοὺς συνέδεσας, ὁμονοοῦντας ἐν τῇ πίστει, τοῦ ἐν αὐτῇ δυναμοῦντός σε.

Θεοτοκίον.

Ἀσωμάτων αἱ χορεῖαι μετὰ δέους παρίστανται, τῇ σῇ δόξῃ Θεοτόκε, τῶν Ἀγγέλων βασίλισσα, κάτω δὲ ἡμεῖς οἱ ἐπὶ γῆς, προσπίπτομέν σοι φόβῳ, τὴν σὴν ζητοῦντες βοήθειαν.

Ἕτερος. Ὁ τοῦ φωτὸς χορηγός.

Πνεύματος θείου πλησθείς, τῆς πονηρίας τὰ δεινὰ πνεύματα, τοῖς ὀχετοῖς, Μάρτυς τῶν αἱμάτων, τῶν σῶν Ἰουστῖνε, ἀπέπνιξας μάκαρ, ἀθλήσας στεῤῥότατα.

Ἡ χαριτώνυμος, χάριτος ἔμπλεως Θεοῦ γέγονε, καὶ γυναικῶν, ἐπιλαθομένη σαφῶς τοῦ ἀσθενοῦς, ἤθλησε νομίμως, καὶ δόξης ἠξίωται.

Χαριτωθεὶς τὴν ψυχήν, ὁμολογίαις ἱεραῖς ἤμβλυνας, τοῦ παλαιοῦ, ἐχθροῦ τὴν κακίαν Χαρίτων ἀθλητά, θείων ἀθλοφόρων, σεπτὸν ἐγκαλλώπισμα.

Θεοτοκίον.

Σοὶ τῇ τεκούσῃ Χριστόν, τὸν τοῦ παντὸς Δημιουργὸν κράζομεν· Χαῖρε ἡ Ἁγνή, χαῖρε ἡ τὸ φῶς ἀνατείλασα ἡμῖν· χαῖρε ἡ χωρήσασα, Θεὸν τὸν ἀχώρητον.

www.tezaurliturgic.ro

Ὠδὴ ϛʹ. Ἐκύκλωσεν ἡμᾶς.

Ὁ Λόγος τοῦ Θεοῦ ὁ ἐνυπόστατος, ἐν σοὶ μεγαλομάρτυς σοφέ, ἐνοικήσας θησαυρόν σε ἀληθοῦς γνώσεως ἀνέδειξε τοῖς πέρασι, καὶ γὰρ αὐτὸς πηγὴ ὑπάρχει, τῆς Χάριτος ἄφθονος.

Στηρίζων εἰς Χριστὸν ἀνθρώπους ἔνδοξε, ἐσάλευσας θεμέλια, τὰ τῆς πλάνης καὶ κατέαξας βωμούς, τοὺς εἰδωλικοὺς λόγων ἐνθέων σου, τῇ μηχανῇ, Αὐτὸν δοξάζων τὸν κρυπτόμενον.

Ἐκύκλωσεν ἡμᾶς θλίψεως ἄβυσσος, οὐκ ἔχομεν παράκλησιν, συμπνιγόμεθα καὶ θνήσκομεν σοφέ, ὡς Θεοῦ θεράπων παρηγόρησον, καὶ πρὸς ζωὴν καὶ θυμηδίαν τάχος ἀνάγαγε.

Θεοτοκίον.

Γεγόναμεν ἀθάνατοι τῷ θείῳ τόκῳ σου, Παρθένε θεονύμφευτε, ἀφθαρσίας νοουμένης κοινωνοί, καὶ θεώσεως μέτοχοι, καὶ σὲ ἀεί, δοξολογοῦμεν τὴν Θεοκυήτορα.

Ἕτερος. Ἐν ἀβύσσῳ πταισμάτων.

Οὐρανόθεν τὴν κλῆσιν δεξάμενος, ὥσπερ ὁ θεσπέσιος Παῦλος θεόσοφε, εὐθυδρομήσας ἄριστα, μαρτυρίου τὸ στάδιον ἤνυσας.

Ἀκυμάντως βασάνων τὸ πέλαγος, θείᾳ κυβερνήσει διήλθετε Μάρτυρες, καὶ πρὸς λιμένα εὔδιον, τῆς Χριστοῦ βασιλείας ἐφθάσατε.

www.tezaurliturgic.ro

Ἀπλανεῖς ὡς ἀστέρες ἐμπρέποντες, τῷ τῆς Ἐκκλησίας σεπτῷ, στερεώματι, τὴν οἰκουμένην ἅπασαν, φωταυγείαις τῶν ἄθλων φωτίζετε.

Θεοτοκίον.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Τὸ Κοντάκιον. Ἦχος β΄. Τοὺς ἀσφαλεῖς.

Τὸν ἀληθῆ τῆς εὐσεβείας κήρυκα καὶ εὐκλεῆ τῶν μυστηρίων ῥήτορα, Ἰουστῖνον τὸν φιλόσοφον, μετ᾽ ἐγκωμίων εὐφημήσωμεν· δυνάμει γὰρ σοφίας τε καὶ χάριτος, τὸν λόγον κατετράνωσε τῆς πίστεως, αἰτούμενος πᾶσι θείαν ἄφεσιν.

Ὁ Οἶκος.

Λάλησόν μοι Λόγε, ἵνα λόγοις τιμήσω φιλόσοφον καὶ μάρτυρα ἅμα, Ἰουστῖνον τὸν ἐκφάντορα τῶν σωτηρίων σου δογμάτων, καὶ ὡς φῶς δεύτερον πολλοὺς εἰς θεογνωσίαν ἀγαγόντα. Προκρίνας γὰρ πάντων τῶν πρὸς ὀλίγον δυναμένων ὠφελῆσαι, Σὲ τὴν αὐτοζωίαν, ὅλος ζωὴ καὶ παράκλησις ἐδείχθη τῇ Ἐκκλησίᾳ σου. Ὅθεν ὡς ἔχων τὴν πρὸς σὲ δικαίαν παῤῥησίαν, οὐ παύεται αἰτούμενος πᾶσι θείαν ἄφεσιν.

Τὸ Συναξάριον.

Μὴν Ἰούνιος, ἔχων ἡμέρας τριάκοντα.

Ἡ ἡμέρα ἔχει ὥρας δέκα πέντε καὶ ἡ νὺξ ὥρας ἐννέα.

www.tezaurliturgic.ro

Τῇ Α' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Ἐνδόξου Μάρτυρος Ἰουστίνου τοῦ Ἀπολογητοῦ καὶ Φιλοσόφου·

Ὡς καὶ τῶν σὺν αὐτῷ Ἁγίων Μαρτύρων Χαρίτωνος, Χαριτοῦς, Εὐελπίστου, Ἱέρακος, Παίωνος, καὶ Λιβεριανοῦ.

Στίχοι.

Ἰουστῖνον κώνειον ἦρεν ἐκ βίου,
Ὡς εἴθε πρῶτον τοὺς πιεῖν δεδωκότας.
Πρώτῃ Ἰουνίου Ἰουστῖνε ἐλλεβορίζῃ.

Θεῖος Χαρίτων καὶ Χαριτὼ παρθένος
Τμηθέντες εὐμοιροῦσι θείων χαρίτων.

Εὔελπις Εὐέλπιστός ἐστιν εἰκότως,
Ὡς κλῆρον ἕξει τὸν Θεὸν τμηθεὶς χάραν.

Ὁρμᾷ πρὸς ἄθλους Ἱέραξ ὡς ἱέραξ,
Τμηθεὶς δὲ θηρᾷ ψυχικὴν σωτηρίαν.

Παίων ὁ Παίων δυσσεβῆ πίστιν λόγοις,
Χειρὶ ξιφήρει παίεται κατ᾽ αὐχένος.

Δείξεις τι καὶ σὺ τῷ Θεῷ τμηθὲν μέλος,
Μελῶν τὸ κρεῖττον, Λιβεριανέ, χάραν.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἰουστίνου, τοῦ Νέου Ὁμολογητοῦ, τοῦ Σέρβου, τοῦΠόποβιτς, κοιμηθέντος ἐν τῇ Ἱερᾷ Μονῇ τοῦ Ἀρχαγγέλου Τσέλιγιε Σερβίας κατὰ τὸ ἔτος 1979.

www.tezaurliturgic.ro

Στίχοι.

Ἰουστῖνος ὕπνωσεν Σέρβος ὡς λέων,
Θεολόγων σύνεδρος, Ἁγίων φίλος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἐνδόξου Μάρτυρος Φίρμου.

Στίχοι.

Πολλὰς Φίρμος ὑπομείνας βασάνους,
Πολλὰς καὶ εὗρεν ἀνταμείψεις ἐν πόλῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἐνδόξου Μάρτυρος Θεσπεσίου.

Στίχοι.

Τῷ ὄντι θεσπέσιος ἐκ τῶν πραγμάτων,
Μάρτυς δέδειξαι, Θεσπέσιε, τῷ ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Πύρρου Ἐπισκόπου, ἐν εἰρήνῃ τελειωθέντος.

Στίχοι.

Ἔστησε Πύρρος πύργον ἁγνείας μέγαν,
Δι' οὗ θεωρεῖ τὸν Θεόν, χοῦν θεὶς κάτω.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἐνδόξου Μάρτυρος Νέωνος, ξίφει τελειωθέντος.

Στίχοι.

Ἐρυθρὸν ἡμῖν ἡ Γραφὴ πόντον λέγει,
Καὶ γῆν ἐρυθρὰν ἐκτελεῖ τμηθεὶς Νέων.

www.tezaurliturgic.ro

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀγαπητοῦ, τοῦ Ἰαματικοῦ καὶ Ἀναργύρου, τῆς Λαύρας τῶν Σπηλαίων τοῦ Κιέβου, τῆς ἐν Οὐκρανίᾳ Ἐκκλησίας.

Στίχοι.

Ὁ Ἀγαπητὸς τὸν ἄργυρον μισήσας,
Τὸν ὑπέρχρυσον Χριστὸν πλουτεῖ νῦν ἄνω.

Ταῖς τῶν σῶν Ἁγίων Πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Σὲ νοητήν.

Λύχνος, τεθείς, ἐν τῷ σκότει ἔνδοξε, τῆς ἀθείας τηλαυγής, ἀπολύων πᾶσι πιστοῖς, ἀκτῖνας τῆς Χάριτος, καὶ τῆς ἐπιγνώσεως, τοῦ ποιητοῦ τῶν ὅλων Χριστοῦ τοῦ Θεοῦ, ἰθύνων λόγοις αὐτούς, σοφὲ θείου κηρύγματος.

Λύμην φυγών, Ἰουστῖνε ἔνδοξε, ἐβδελυγμένων θυσιῶν, τῇ λατρείᾳ τῇ μυστικῇ, τοῦ Χριστοῦ προσέδραμες, καὶ ταύτης ταῖς χάρισιν, ὅλως ἐῤῥώσθης κράζων ἐν Πνεύματι, ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ἤρθης, σοφὲ πρὸς γνῶσιν οὐρανίων, πτέρυξι πίστεως Χριστοῦ, καὶ τὴν ἄπταιστον παρ' Αὐτοῦ ἐδέξω ἀοίδιμε ψυχῆς καθαρότητι, Θεολογίαν κράζων ἐν Πνεύματι· ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἰλὺν παθῶν ἐκκαθαίρεις Δέσποινα, καὶ ἀποπλύνεις νοητοῖς εὐσπλαγχνίας σου ποταμοῖς, τοὺς ὑμνολογοῦντάς σε, πίστει Θεομήτορα, καὶ τῷ Υἱῷ σου κραυγάζοντας· ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ἕτερος. Εἰκόνος χρυσῆς.

Ἀπάτης βυθόν, τῶν αἱμάτων ποταμῷ ἀποξηράναντες, κρουνοὺς θαυμάτων ἀνεβλύσατε, κατασβεννύοντες ἄνθρακας, Μάρτυρες δεινῶν παθημάτων, τῶν βοώντων ἑκάστοτε· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Σοφία Θεοῦ, Ἰουστῖνος ὁ σοφὸς κεκοσμημένος, τὴν τῶν Ἑλλήνων ἀπεμώρανε, φιλοσοφίαν ἐν χάριτι, πείσας προσκυνεῖν τὴν Τριάδα, ὀρθοδόξως κραυγάζειν τε, Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐνθέῳ πυρί, ἀγαπήσεως σοφοὶ ὕλην κακίας, γενναιοφρόνως κατεφλέξατε· καὶ ὡς πυρσοὶ ἀναλάμψαντες, πάντων τῶν βοώντων καρδίας, εὐσεβῶς ἐφωτίσατε· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Σὲ βάτον Μωσῆς, ἐν τῷ ὄρει τῷ Σινᾷ πυρπολουμένην, προεθεώρει τὴν ἐνέγκασαν, ἀκαταφλέκτως τὴν ἄστεκτον, αἴγλην τῆς ἀῤῥήτου οὐσίας, ἑνωθείσης παχύτητι, σαρκὸς μιᾶς τῶν ἐν αὐτῇ, ἁγίων ὑποστάσεων.

www.tezaurliturgic.ro

Ὠδὴ η'. Ἐν καμίνῳ Παῖδες.

Ὡς ἀρότρῳ Μάρτυς τοῦ Χριστοῦ, τοῖς λόγοις σου τοῖς θείοις, τὰς καρδίας ἀνατέμνων, νοητῶς τὰς τῶν βροτῶν, ἐν ταύταις κατασπείρας πίστιν ὀρθήν, τὴν τοῦ Δεσπότου καὶ Θεοῦ τῶν ἁπάντων, Ὃν ὑμνολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Νέφη Μάρτυς, τὰ τῶν ἀλγεινῶν, βασάνων διακόψας, εἰσέδυς εἰς τὰ ἐνδότερα τοῦ γνόφου νοητῶς, τῆς σαρκὸς καὶ ἤγγισας, τῷ ἡλίῳ τῷ ἀνεσπέρῳ καὶ μόνῳ Φωτοδότῃ, Ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Συντριβέντας πλάνῃ τοῦ ἐχθροῦ, ἀνθρώπους θεραπεύεις, τοῖς λόγοις τοῖς ῥωστικοῖς σου, ἀθλοφόρε τοῦ Χριστοῦ, ἀνώρθωσας ψάλλοντας· Εὐλογητὸς εἶ ὁ Θεὸς τῶν πατέρων ἡμῶν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὁ ἐν θρόνῳ Ὢν τῷ φλογερῷ, Υἱὸς Θεοῦ καὶ Λόγος, καθέδραν σε ὑπερένδοξον, εἰργάσατο Σεμνή, ἀληθῶς ἐκ σοῦ σαρκωθείς· διὰ τοῦτο πόθῳ καὶ πίστει ὑμνοῦμέν σε ἀπαύστως, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ὡς ἐν καμίνῳ τῷ πυρί, τῶν βασάνων καρτερῶς δοκιμασθέντες, Ἀθλοφόροι Κυρίου, ὑπὲρ χρυσὸν ἀληθῶς, ἐνθέως βοῶντες ἠστράψατε· Σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro

Σὺν Ἰουστίνῳ τῷ σοφῷ, ἀνυμνείσθω Χαριτώ, Παίων, Χαρίτων, καὶ Ἱέραξ ὁ μέγας, σὺν Λιβεριανῷ, ἀθλήσει τὴν πλάνην μειώσαντες, καὶ ταῖς τῶν Ἀγγέλων, χορείαις συναφθέντες.

Πρὸς τὴν αἰώνιον ζωήν, ἐπειγόμενοι σοφοὶ γενναιοφρόνως, τὸν αὐχένα τῷ ξίφει, ἐν ὁμονοίᾳ ψυχῆς, οἱ πάντες ἐκλίνατε Μάρτυρες, θύματα καθάπερ, Θεῷ προσενεχθέντες.

Θεοτοκίον.

Μύρον κενούμενον ἡμῖν, Θεοτόκε τὸν Χριστὸν κυοφοροῦσα, εὐωδίασας κόσμον, ἐν θεοπνεύστοις ὀσμαῖς· διό σοι τὸ Χαῖρε κραυγάζομεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς.

Τύπους παλαιοὺς παρέδραμες, καὶ τὰ σκιώδη Ἰουστῖνε αἰνίγματα, καὶ τῇ ἀληθείᾳ, τῷ Χριστῷ προσεπέλασας, καὶ ἐν ἔθνεσι Τοῦτον ἐκήρυξας, Ὃν πόθῳ ἀνυμνοῦμεν, καὶ προσκυνοῦντες μεγαλύνομεν.

Ὅλος ὑπεκστὰς τοῦ σώματος, καὶ διανοίᾳ Μάρτυς ἀεὶ αἰρόμενος, πρὸς τὸν καθαρῶς, καὶ ἁγνῶς σοι ποθούμενον, τῶν βασάνων τὴν πεῖραν ἐλάνθανες, ἀσώματον ἐμφαίνων, τὴν ἐν σαρκί σου θείαν ἔνστασιν.

Μίαν πεῖραν δεδιττόμενος, τῆς φοβερᾶς καὶ αἰωνίου κολάσεως, προσκαίρους ποινάς, ὥσπερ ἀθύρματα ἔφερες, καὶ θανὼν τὸν Χριστὸν Ὃν ἐκήρυττες, ἀνάπαυλαν ἔτυχες, ἐν οὐρανοῖς σε κατατάττοντα.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἅπαν τὸ ὑλῶδες Δέσποινα, ἀποσοβοῦσα τῆς ψυχῆς μου πρεσβείαις σου, τοῖς τῶν ἀρετῶν, θείοις πτεροῖς με ἀνάγαγε, τοῦ Υἱοῦ σου εἰς πόθον καὶ ἔρωτα, ἵνα ἐν ἀπαθείᾳ, Αὐτὸν δοξάζων μεγαλύνω σε.

Ἕτερος. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Θείᾳ λαμπόμενοι δόξῃ, τὸν κρυμὸν τῆς ἀπάτης, ἐλύσατε γενναῖοι Ἀθληταί, καὶ κοινωνοὶ χρηματίσαντες, ἱερῶν παθημάτων, τοῦ σάρκα εἰληφότος δι' ἡμᾶς, σὺν αὐτῷ αἰωνίως, εἰς οὐρανοὺς ἀγάλλεσθε.

Τὴν Ἰουστίνου σοφίαν, Χαριτοῦς τὴν ἀνδρείαν, Χαρίτωνος τὴν τόλμην ἀληθῶς, Παίωνός τε Ἱέρακος, τοὺς γενναίους ἀγῶνας, καὶ Λιβεριανοῦ πρὸς τὰ δεινά, τὴν πολλὴν καρτερίαν, οἱ Ἄγγελοι ἐθαύμασαν.

Ὥσπερ ἐν ἅρματι θείῳ, ἐπιβάντες ἐνδόξως, τῷ αἵματι ὑμῶν πρὸς οὐρανόν, χαρμονικῶς ἀνεδράμετε, καὶ χειρὶ ζωηφόρῳ, τῆς νίκης ἐκομίσασθε σοφοί, τοὺς στεφάνους ἀπαύστως, ὑπὲρ ἡμῶν πρεσβεύοντες.

Θεοτοκίον.

Σωματωθεὶς ἀποῤῥήτως, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ὡς ἥλιος ἐπέφανεν ἡμῖν, πάναγνε Μῆτερ ἀνύμφευτε, τῶν αἰώνων ἁπάντων, ὁ πρὶν Πατρὶ συνάναρχος Υἱός, καὶ τὸ σκότος διώξας, ἐφώτισε τὰ σύμπαντα.

www.tezaurliturgic.ro

Ἐξαποστειλάριον.

Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τῶν Ἀποστόλων πέφυκας, μιμητὴς θεοῤῥῆμον, πολλοὺς γὰρ καθωδήγησας, πρὸς σωτήριον ὅρμον· τοῦ Πνεύματος τῇ δυνάμει, ἀπενεύρωσας πλάνην, καὶ θείαν ἐνανθρώπησιν, τοῦ Σωτῆρος Κυρίου πάνυ σοφῶς, τοῖς ποθοῦσι Μάρτυς θεογνωσίαν, ὡς γλῶσσα χριστοκίνητος, Ἰουστῖνε διδάσκεις.

Τὸ τῆς Προλαβούσης Ἑορτῆς.

Ἢ Θεοτοκίον. Ὅμοιον.

Τριάδος Κόρη τέτοκας, ἀποῤῥήτως τὸν ἕνα, διπλοῦν τῇ φύσει πέλοντα, καὶ διπλοῦν ἐνεργείᾳ, καὶ ἕνα τῇ ὑποστάσει· Τοῦτον οὖν ἐκδυσώπει, ἀεὶ ὑπὲρ τῶν πίστει σε, προσκυνούντων ἐκ πάσης, ἐπιβουλῆς, τοῦ ἐχθροῦ λυτρώσασθαι ὅτι πάντες, πρὸς σὲ νῦν καταφεύγομεν, Δέσποινα Θεοτόκε.

Μετὰ τὰ Ἐξαποστειλάρια, τὸ «Πᾶσα Πνοή», καὶ τὸ «Αἰνεῖτε»· τοῦ Δεξιοῦ Χοροῦ ψάλλοντος τὸ «Τὸν Δεσπότην καὶ Ἀρχιερέα ἡμῶν, Κύριε, φύλαττε...», ὁ Χοροστατῶν Ἀρχιερεύς, συνοδευόμενος ὑπὸ δύο Διακόνων κρατούντων Δικηροτρίκηρα, κατέρχεται τοῦ Ἀρχιερατικοῦ Θρόνου καὶ ἐλθὼν ἐνώπιον τῆς Ὡραίας Πύλης, λαμβάνει ὡς συνήθως «Καιρόν», διὰ νὰ Ἱερουργήσῃ.

www.tezaurliturgic.ro

Εἰς τοὺς Αἴνους ἱστῶμεν Στίχους δ´
καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ´. Ὢ! τοῦ παραδόξου θαύματος.

Σήμερον υἱοὺς τῆς Χάριτος, ὁ χριστομάρτυς φαιδρῶς, ἑστιάτωρ ὡς ἄριστος, Ἰουστῖνος ἤθροισε, τοῦ δοξάσαι τὸν Κύριον. Αὐτὸν γὰρ εὗρε σοφὸν ἐμπόρευμα, καὶ ἀλογήσας, ματαίας σχέσεως, θρόνος αἰσθήσεως, νοερᾶς ἐγένετο καὶ πρακτικῆς, ἀρετῆς ταμίευμα, καὶ θείας γνώσεως.

Φιλοσοφίαν τὴν θύραθεν, καταλιπὼν ἐν σπουδῇ, Ἰουστῖνε φιλόσοφε, μᾶλλον ταύτῃ ὄργανον, θεωρίας ἐγκέχρησαι, διὰ τῶν τύπων πρὸς τὸ ἀρχέτυπον, ἀναβιβάζων, τὰ ἐννοήματα. Ὄντως! μακάριος, δέδειξαι φιλόθεε ὅτι σοφῶς, τοῖς παροῦσι μέλλοντα ἀντικατήλλαξας.

Λόγος τοῦ Πατρὸς ὁ σύνθρονος, ὁ ὑπὸ σοῦ ἰχνευθείς, Ἰουστῖνε μακάριε, ὅλον σε ἠλλοίωσε, τὴν καλλίστην ἀλλοίωσιν, καὶ τῷ ἀγκίστρῳ, Σταυροῦ σε ἤγρευσεν, εὑρών σε Μάρτυς, εὐθὲς ἁλίευμα, καὶ ἐναπέδειξεν, ἁλιέα ἔμπειρον πολλοὺς Αὐτῷ, λογικοὺς ἀγρεύσαντα, ἰχθεῖς τῷ λόγῳ σου.

Αἵματος τῇ χύσει ηὔφρανας, τὴν Ἐκκλησίαν Χριστοῦ, σοῦ τὴν μνήμην δοξάζουσαν, ὅτι ἐπεσφράγισας, θεωρίαν τῇ πράξει σου, καὶ κληρονόμος δικαίως δέδειξαι, τῶν Παραδείσου, τερπνῶν ὁράσεων. Μάρτυς φιλόσοφε, Ἰουστῖνε ἅπαντες Χάριν Θεοῦ, ταῖς λιταῖς σου εὕροιμεν, καὶ σωτηρίαν ψυχῶν.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. δ΄.

Ἡ σαρκωθεῖσα Σοφία τοῦ Θεοῦ, Χριστὸς ὁ Κύριος, ὡς εὗρέ σε δοχεῖον εὔχρηστον, ἐν σοὶ ἐσκήνωσε Ἰουστῖνε. Καὶ τὴν φιλόσοφόν σου καρδίαν, ταῖς νοεραῖς ἐλλάμψεσιν ἐκκαθάρασα, μέγα κάτοπτρον τῆς Χάριτος ἔδειξεν. Οὐκέτι γὰρ σπερματικῶς ὁ Λόγος ἐνεργεῖ, ἀλλὰ πᾶσι παρέχεται ἁπλῶς, ὅσοι δείκνυνται φιλόθεοι. Ἐμεθύσθης Μάρτυς ταῖς φαιδραῖς θεωρίαις, ἐπλήθυνας τὸ χάρισμα, ἐπολυπλασίασας τὸ τάλαντον, καὶ καθ᾽ ἡμέραν ἀναβάσεις ἀνερχόμενος μυστικάς, ἔτυχες τοῦ ποθουμένου Ἰησοῦ ἀσφαλῶς. Διὸ ὡς ἔχων τὸ θεοπάρεδρον, πρέσβευε ἀδιαλείπτως τοῦ σωθῆναι ἡμᾶς, ἁγιώτατε.

Καὶ νῦν.

Τὸ τῆς Προλαβούσης Ἑορτῆς.

Ἢ Θεοτοκίον. Ἦχος ὁ αὐτός. Τῆς Παρακλητικῆς.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ψάλλομεν τὰ ἑξῆς Ἀντίφωνα

Ἀντίφωνον Α'

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ,
καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.
(Ψαλμ. 91,2).

Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου,
καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.
(Ψαλμ. 91,3).

Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν,
καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.
(Ψαλμ. 91,16).

Δόξα. Καὶ νῦν.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Ἀντίφωνον Β'

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο,
ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο.
(Ψαλμ. 92,1).

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην,
ἥτις οὐ σαλευθήσεται.
(Ψαλμ. 92,1).

www.tezaurliturgic.ro

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε,
εἰς μακρότητα ἡμερῶν.
(Ψαλμ. 92,5).

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ...

Ἀντίφωνον Γ΄

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ,
ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.
(Ψαλμ. 94,1).

Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει,
καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.
(Ψαλμ. 94,2).

Ὅτι Θεὸς μέγας Κύριος,
καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
(Ψαλμ. 94,3).

Δόξα. Καὶ νῦν.

Φιλοσοφίας ταῖς ἀκτῖσιν ἐκλάμπων...

Μετὰ τὴν Μικρὰν Εἴσοδον,

Ψάλλομεν τὰ προβλεπόμενα Ἀπολυτίκια.

Καὶ τὸ Κοντάκιον τῆς Ἐκκλησιαστικῆς Περιόδου.

Ἀπόστολος καὶ Εὐαγγέλιον:

Τὰ τῆς Λειτουργίας τῆς Ἑορτῆς τοῦ Ἁγίου Γεωργίου.

www.tezaurliturgic.ro

### Κοινωνικόν.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ,
καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Ἀλληλούϊα.

(Ψαλμ. 18,5).

Ἢ

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Ἀλληλούϊα.

(Ψαλμ. 111,6).

### Μεγαλυνάριον.

Χάριτι σοφίας καταυγασθείς, ὡς αὐτοσοφίαν,
ἐθεράπευσας τὸν Χριστόν, ὑπὲρ Οὗ ἐνδόξως, ἀθλήσας
Ἰουστῖνε, σὺν Τούτῳ εἰς αἰῶνας, δοξάζῃ ἔνδοξε.

### Στίχοι

Ἐμὲ τὸν τάλα ῥῦσαι, Μάρτυς, γεέννης,
Καὶ ὁμωνύμοις πολλὴν δίδου τὴν Χάριν.

www.tezaurliturgic.ro

Εκ Του Τυπογραφείου Της Αποστολικής Διακονίας Της Εκκλησίας της Ελλάδος

www.tezaurliturgic.ro

Εκ Του Τυπογραφειου Της Αποστολικης Διακονιας Της Εκκλησιας της Ελλαδος

www.tezaurliturgic.ro